Α′

1 *Εὔμοιρε Συρακ[οσίω]ν*
*ἱπποδινήτων στραταγέ,*
3 *γνώσηι μὲν ἰοστεφάνων*
*Μοισᾶν γλυκύδωρον ἄγαλμα, τῶν γε νῦν*
5 *αἴ τις ἐπιχθονίων,*
*ὀρθῶς· φρένα δ᾽ εὐθύδικ[ο]ν*
7 *ἀτ'ρέμ᾽ ἀμπαύσας μεριμνᾶν*
*δεῦρ᾽ ἄθρησον νόωι·*
9 *ἦ σὺν Χαρίτεσσι βαθυζώνοις ὑφάνας*
*ὕμνον ἀπὸ ζαθέας*
11 *νάσου ξένος ὑμετέραν πέμ-*
*πει κλεεννὰν ἐς πόλιν,*
13 *χρυσάμπυκος Οὐρανίας*
*κλεινὸς θεράπων· ἐθέλει δὲ*
*γᾶρυν ἐκ στηθέων χέων*
1 *αἰνεῖν Ἱέρωνα. βαθὺν*
*δ᾽ αἰθέρα ξουθαῖσι τάμνων*
3 *ὑψοῦ πτερύγεσσι ταχεί-*
*αις αἰετὸς εὐρυάνακτος ἄγγελος*
5 *Ζηνὸς ἐρισφαράγου*
*θαρσεῖ κρατερᾶι πίσυνος*
7 *ἰσχύϊ, πτάσσοντι δ᾽ ὄρνι-*
*χες λιγύφθογγοι φόβωι·*
9 *οὔ νιν κορυφαὶ μεγάλας ἴσχουσι γαίας,*
*οὐδ᾽ ἁλὸς ἀκαμάτας*